WM – 1-8-956 Wg 270 1/648.

# ΑΚΟΛΟΥΘΙΑ

ΕΙΣ ΤΗΝ ΜΝΗΜΗΝ ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΣΥΜΕΩΝ

## ΤΟΥ ΝΕΟΥ ΘΕΟΛΟΓΟΥ.

Μηνὶ Ὀκτωβρίῳ δωδεκάτῃ,

ΗΤΙΣ ΜΕΤΕΤΕΘΗ ΑΠΟ ΤΗΝ ΔΩΔΕΚΑΤΗΝ ΤΟΥ
ΜΗΝΟΣ ΜΑΡΤΙΟΥ ΔΙΑ ΤΟ ΑΙΔΕΣΙΜΟΝ
ΤΗΣ ΑΓΙΑΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ.

ΣΥΝΤΕΘΕΙΣΑ ΜΕΝ ΑΥΤΗ ΠΡΩΗΝ ΠΑΡΑ ΤΟΥ ΕΝ ΜΟΝΑΧΟΙΣ
ΝΙΚΟΔΗΜΟΥ ΑΓΙΟΡΕΙΤΟΥ ΤΟΥ ΘΕΟΣΕΒΕΣΤΑΤΟΥ
ΔΙΔΑΣΚΑΛΟΥ.

ΑΝΤΕΓΡΑΦΗ ΗΔΗ ΑΠΑΡΑΛΛΑΚΤΩΣ ΠΑΡΑ ΤΙΝΟΣ ΜΟΝΑΧΟΥ, ΔΙ' ΕΠΙΣΤΑΣΙΑΣ
ΚΑΙ ΔΑΠΑΝΗΣ ΤΟΥ ΠΑΝΟΣΙΩΤΑΤΟΥ ΓΕΡΟΝΤΟΣ ΚΥΡΙΟΥ
ΙΩΑΝΝΟΥ ΤΟΥ ΙΕΡΟΔΙΑΚΟΝΟΥ ΩΡΟΛΟΓΟΠΟΙΟΥ,
ΤΟΥ ΕΝ ΤΗι ΚΟΥΤΛΟΥΜΟΥΣΙΑΝΗι
ΙΕΡΑι ΣΚΗΤΗι.

*Εἰς ἀΐδιον εὐλαβείας τεκμήριον πρὸς τὸν αὐτὸν Ἅγιον.*



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ – ΣΥΛΛΟΓΗ ΝΤ... ΠΑΠΑΣΤΡΑΤΟΥ
P.p. 270/1

ΕΝ ΕΡΜΟΥΠΟΛΕΙ ΣΥΡΟΥ.
ΤΥΠΟΙΣ ΓΡΗΓΟΡΙΟΥ ΚΑΝΕΛΛΟΥ.

1877.

# ΑΚΟΛΟΥΘΙΑ

ΕΙΣ ΤΗΝ ΜΝΗΜΗΝ ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΣΥΜΕΩΝ

## ΤΟΥ ΝΕΟΥ ΘΕΟΛΟΓΟΥ.

Μηνὶ Ὀκτωβρίῳ δωδεκάτῃ,

ΗΤΙΣ ΜΕΤΕΤΕΘΗ ΑΠΟ ΤΗΝ ΔΩΔΕΚΑΤΗΝ ΤΟΥ
ΜΗΝΟΣ ΜΑΡΤΙΟΥ ΔΙΑ ΤΟ ΑΙΔΕΣΙΜΟΝ
ΤΗΣ ΑΓΙΑΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ.

ΣΥΝΤΕΘΕΙΣΑ ΜΕΝ ΑΥΤΗ ΠΡΩΗΝ ΠΑΡΑ ΤΟΥ ΕΝ ΜΟΝΑΧΟΙΣ
ΝΙΚΟΔΗΜΟΥ ΑΓΙΟΡΕΙΤΟΥ ΤΟΥ ΘΕΟΣΕΒΕΣΤΑΤΟΥ
ΔΙΔΑΣΚΑΛΟΥ.

ΑΝΤΕΓΡΑΦΗ ΗΔΗ ΑΠΑΡΑΛΛΑΚΤΩΣ ΠΑΡΑ ΤΙΝΟΣ ΜΟΝΑΧΟΥ, ΔΙ' ΕΠΙΣΤΑΣΙΑΣ
ΚΑΙ ΔΑΠΑΝΗΣ ΤΟΥ ΠΑΝΟΣΙΩΤΑΤΟΥ ΓΕΡΟΝΤΟΣ ΚΥΡΙΟΥ
ΙΩΑΝΝΟΥ ΤΟΥ ΙΕΡΟΔΙΑΚΟΝΟΥ ΩΡΟΛΟΓΟΠΟΙΟΥ,
ΤΟΥ ΕΝ ΤΗι ΚΟΥΤΛΟΥΜΟΥΣΙΑΝΗι
ΙΕΡΑι ΣΚΗΤΗι.

*Εἰς ἀΐδιον εὐλαβείας τεκμήριον πρὸς τὸν αὐτὸν Ἅγιον.*

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ
Pet 270/1
A 969



ΕΝ ΕΡΜΟΥΠΟΛΕΙ ΣΥΡΟΥ.

ΤΥΠΟΙΣ ΓΡΗΓΟΡΙΟΥ ΚΑΝΕΛΛΟΥ,

1877.

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ ΨΑΛΛΟΜΕΝ ΣΤΧΡ. ΠΡΟΣΟΜΟΙΑ Δ'.

ἦχος δ'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅτε κατετρώθης τῷ γλυκεῖ, βέλει τῆς ἀγάπης τῆς θείας, Συμεὼν ὅσιε· τότε κατεφρόνησας, σαρκὸς καὶ αἵματος, καὶ γονέων ἀπέῤῥιψας, τὴν σχέσιν θεόφρον· συγγενῶν προσπάθειαν, πλοῦτον καὶ δόξαν κενήν· ὅθεν νεκρωθεὶς τοῖς ἐν κόσμῳ· τὴν ἐν τῷ Χριστῷ κεκρυμμένην, ἔζησας ζωὴν ἀξιοθαύμαστε.

Ὅτε συνειδήσεως τῆς σῆς, πάτερ ἐπιμέλειαν ἔσχες, καὶ πάντα ἔπραττες, ὅσα σοὶ ὑπέβαλλεν, αὕτη μακάριε· μελετῶν προσευχόμενος, πενθῶν καὶ νηστεύων· τότε φῶς οὐράνιον, σὲ περιέλαμψεν, ὅπερ οὐρανοῦ εἰς τὸ ὕψος, ἔδειξε φωτός σοι νεφέλην, τὸν σὲ ὁδηγήσαντα μηνύοντα.

Ὅτε τῷ πατρί σου Συμεών, τῷ πνευματικῷ ὑπετάγης, καὶ ἅπαν φρόνημα, σοῦ καὶ ἅπαν θέλημα, τούτῳ ὑπέταξας· τότε ἄκραν ταπείνωσιν, ἐπλούτησας πάτερ, καὶ ἐκ ταπεινώσεως, θείαν διάκρισιν εὗρες καὶ διόρασιν θείαν· τὴν τῶν φαινομένων κτισμάτων, λόγους ἀποκρύφους ἐξετάζουσαν.

Ὅτε ἀναβάσεις ἱερὰς, ἐν τῇ σῇ καρδίᾳ διέθου, καὶ ἐκ δυνάμεως, μείζονα εἰς δύναμιν πάτερ προβέβηκας, τότε φῶς σε οὐράνιον, κατήστραψεν ὅλον, καὶ σοφίας χάρισμα, δέδωκε πλούσιον· ὅθεν οἱ πολλοὶ ἀγνοοῦντες, πόθεν ἡ τοσαύτη σοφία, ἔλεγον τὸ θαῦμα ἐκπληττόμενοι.

Δόξα, ἦχος δ'.

Οὐρανοῦ καὶ γῆς πανήγυρις γίνεται, ἐπὶ τῇ σῇ μνήμῃ Συμεὼν θεοδόξαστε· σήμερον γὰρ Ἄγγελοι πανηγυρίζουσι, καὶ πᾶσα ἡ ἐν οὐρανοῖς θριαμβεύουσα ἐκκλησία τῶν πρωτοτόκων, ἐν μέσῳ ἔχουσα τὸ πνεῦμά σου, ὁλολαμπὲς καὶ ὁλόφωτον, πανηγυρίζει δὲ καὶ ἡ ἐπὶ γῆς

στρατευομένη ἐκκλησία τῶν ὀρθοδόξων, ὡς ἀναφαίρετον πλοῦτον, καὶ πολυτάλαντον θησαυρὸν κεκτημένη, τὰ θεόπνευστά σου συγγράμματα, ὧν καὶ ἡμᾶς μετασχεῖν τοῦ καρποῦ· ὅς ἐστιν ἡ ἐν ἡμῖν αὐτοῖς, κατ' ἐνέργειαν κτῆσις τῆς θείας χάριτος· Χριστὸν ἐκδυσώπησον, τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν Ἐκ παντοίων κινδύνων.

Εἰς τὸν στιχ. ἦχος β'. Οἶκος τοῦ Εὐφραθᾶ.

Ἅρμα τῶν ἀρετῶν, τέθριππον συσκευάσας, ἐπέβης τούτῳ πάτερ, καὶ εἰς ἀποκαλύψεις, Κυρίου ἀνελήλυθας.

Τὸ στόμα μου λαλήσει σοφίαν.

Κῆρυξ τῆς νεαρᾶς, σὺ προσευχῆς ἐδείχθης, κανὼν νήψεως θείας, ὄργανον τῆς σοφίας, καὶ σάλπιγξ τῆς θεώσεως.

Στόμα δικαίου μελετήσει σοφίαν.

Χάριν ὁμολογεῖ, σοὶ πᾶσα Ἐκκλησία, ὅτι διὰ σῶν λόγων, εἰς εὕρεσιν τῆς θείας, χάριτος διεγείρεται. Δόξα, ὅμοιον.

Δόξα σοι ὦ Τριάς, Πάτερ Υἱὲ καὶ Πνεῦμα, ὅτι εἰς πάντα κόσμον, Συμεὼν τὸν σὸν παῖδα, σῇ χάριτι ἐδόξασας. Καὶ νῦν, ὅμοιον.

Ὢ πρᾶγμα τὸ γλυκύ, καὶ ὄνομα, Μαρία, πρέσβευε τῷ Υἱῷ σου μετὰ τοῦ σοῦ Ὁσίου, ὑπὲρ ἡμῶν τῶν δούλων σου.

Νῦν ἀπολύεις. Τρισάγιον κτλ.

Ἀπολυτίκιον, ἦχος γ'. Θείας πίστεως.

Θείαν ἔλλαμψιν, Συμεὼν Πάτερ, εἰσδεξάμενος, ἐν τῇ ψυχῇ σου, φωστὴρ ἐν κόσμῳ ἐδείχθης λαμπρότατος, διασκεδάζων αὐτοῦ τὴν σκοτόμαιναν, καὶ πάντας πείθων ζητεῖν ἣν ἀπώλεσαν, χάριν Πνεύματος. Αὐτὸ ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ ἀπόλυσις.



Ἐν δὲ τῷ μεγάλῳ ἑσπερινῷ, τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στιχ. η. καὶ ψάλλομεν στιχ. προσόμοια,

ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσιν.

Θεολόγων ὁ θίασος, καὶ ὁσίων ὁ ὅμιλος, συνελθόντες σήμερον, εὐφημήσωμεν, τὸν Συμεὼν τὸν πανόσιον, καὶ νέον ὑπάρχοντα, Θεολόγον ἀληθῶς, οὗτος γὰρ εἰσδεξάμενος, αἴγλην ἅπασαν, τῆς Τριάδος ἐβρόντησε τῷ κόσμῳ, μυστικῆς Θεολογίας, τὰ ὑπὲρ ἔννοιαν δόγματα.

Τοῦ Πατρὸς τὸ ψαλτήριον, τοῦ Υἱοῦ τερπνὸν κύμβαλον, τοῦ Ἁγίου Πνεύματος, θεῖον ὄργανον, Τριάδος ὅλης τὸν κήρυκα, τῶν ἀποκαλύψεων, τὸ πυξίον τὸ σεπτόν, μυστογράφον τῆς χάριτος, θεοῤῥήμονα, εὐφημήσωμεν ᾄσμασιν ἐνθέοις, Συμεὼν τὸν θεοφόρον, τῶν θεολόγων τὸ καύχημα.

Μέγα θαῦμα τῆς χάριτος, ἐπὶ σοὶ καὶ παράδοξον, Συμεὼν θεσπέσιε, ἐκτετέλεσται, σὺ γὰρ ὑπάρχων ἀμύητος, σοφίας τῆς ἔξωθεν, ἀνεδείχθης ἀληθῶς, θεολόγος θεόπνευστος, καὶ διδάσκαλος, ἐγνωρίσθης θεόσοφος τῷ κόσμῳ, καὶ λαμπτὴρ τῆς οἰκουμένης, τοῖς ἱεροῖς σου συγγράμμασιν.

Οὐρανὸς ὁ κατάστερος, τοῖς ποικίλοις χαρίσμασιν, ὁ ἐκδιηγούμενος, βροτοῖς ἅπασι, χάριτος θείας μυστήρια, καὶ τρόπους ἐλλάμψεως, καὶ τὰ μέτρα ἀπλανῶς, καὶ βαθμοὺς τελειότητος, θείοις ᾄσμασι παρὰ πάντων ἀξίως ἐπαινείσθω, Συμεὼν ὁ Θεολόγος, τῆς ἐκκλησίας τὸ ἥδυσμα.

Ἕτερα προσόμοια.

ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος· πῶς σε τὸ πνεῦμα Θεοῦ, Συμεὼν παμμακάριστε, προγινώσκον πόῤῥωθεν, ἐκ τοῦ κόσμου ἀφώρισεν, ἵνα

πληρώση, ἅπερ προώρισε, καὶ τοῖς πλουσίοις, αὐτοῦ χαρίσμασι, καταγλαΐσαν σε, κόσμου παντὸς ἔδειξε, θεολαμπῆ, λόγον ζωῆς ἔχοντα, φωστῆρα ὅσιε.

Ὢ τοῦ παραδόξου θαύματος! πῶς ἐν ὑστέροις καιροῖς, τὸ αὐτὸ πνεῦμα Ἅγιον, ὅ πάλαι ἐφώτισεν, Ἀποστόλους ἐν χάριτι, καὶ διδασκάλους, κόσμου ἐποίησε, τοῦτο φωτίζει, καὶ σὲ τρισόλβιε, καὶ ἰσαπόστολον, δείκνυσι τοῖς πέρασι καὶ ὁδηγὸν, πολλῶν καὶ διδάσκαλον θεοσοφώτατον.

Πάτερ Συμεὼν μακάριε, σὺ τὸν ὡραῖον Χριστὸν, ἀγαπήσας θερμότατα, ὀπίσω κατέδραμες, τῆς αὐτοῦ θείας χάριτος, ἕως οὗ ὅλον, αὐτὸν εἰσήγαγες, ἐν τῇ ψυχῇ σου, καὶ τῇ καρδίᾳ σου, εὖγε τοῦ πόθου σου, δι' οὗ ἔζης πάντοτε σὺ ἐν Χριστῷ, καὶ ἐν σοὶ ἀντίστροφα ἔζη ἐν σοὶ ὁ Αὐτός.

Ἄνθρακι τῷ θείῳ ὅσιε, χείλη προσάψας καὶ νοῦν, ἠλλοιώθης τῷ πνεύματι, καὶ πῦρ ὅλος γέγονας, καὶ πυρίνους ἐννόησας, λόγους θεόφρον, καὶ ἀνεκήρυξας, καὶ τῇ χειρί σου, τούτους συνέγραψας· οἷς οἱ προσέχοντες, πῦρ καὶ αὐτοὶ γίνονται, καὶ μυστικῶς, ἐν ψυχῇ λαμβάνουσι, θείαν ἀλλοίωσιν.

Δόξα, ἦχος πλ. δ'.

Ἐπέλαμψε σήμερον τῇ Ἐκκλησίᾳ, ὡς ἀστὴρ ἑωθινὸς, τοῦ θεολόγου Συμεὼν, ἡ σεβάσμιος πανήγυρις· δεῦτε οὖν οἱ τῶν λόγων αὐτοῦ ἐρασταὶ, εἰς ἓν συνελθόντες, θεολογικοῖς ὕμνοις αὐτὸν προσείπωμεν, λέγοντες· χαίροις ὁ μετὰ τὸν πρῶτον Ἰωάννην, καὶ τὸν δεύτερον Θεολόγον Γρηγόριον, τρίτος ἀναφανεὶς Θεολόγος, καὶ ἐπιστήθιος· χαίροις ὁ τὸν νέον Ἰσραὴλ, καθάπερ στύλος πυρὸς, διὰ τῆς πρακτικῆς ἐργασίας τῶν ἐντολῶν, εἰς τὴν γῆν τῆς ἀπαθείας ὁδηγῶν ἀσφαλέστατα· χαίροις ὁ ὥσπερ στύλος νεφέλης, διὰ τῆς πνευματικῆς θεωρίας,



εἰς τὴν τελειότητα τὴν ἐνδεχομένην ἀνθρώποις ἀναβιβάζων, πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἐκ πόθου τελούντων τὴν μνήμην σου.

Καὶ νῦν, Θεοτοκίον ὁ αὐτός.

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς Μονογενὴς, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς· φύσει Θεὸς ὑπάρχων καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος· αὐτὸν ἱκέτευε σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος· τὸ Φῶς ἱλαρόν· τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ

Ἀναγνώσματα. Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος, ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ, ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσία προσεδέξατο αὐτοὺς, καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ· διὰ τοῦτο λήψονται τὸ Βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν· λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους· καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δὲ ἐστὶ φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος· εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον· τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε



χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας· οἱ δὲ λαοί, ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτήν, ἰδιόμελα, ἦχος α'.

Οὐρανίαν ὡς ἀληθῶς, ἔδει παρεῖναι γλῶσσαν, τοῖς ἐγκωμιάζειν βουλομένοις, Συμεὼν τὸν οὐράνιον ἄνθρωπον· οὗτος γὰρ διὰ τῆς ἐν πνεύματι θεωρίας, ἀμέσως ἑνωθεὶς τῷ κατὰ φύσιν Ἁγίῳ, Ἅγιος κατὰ μέθεξιν γέγονε· τῷ πρώτῳ φωτὶ φῶς δεύτερον ἐχρημάτισε· καὶ τῷ κατ' οὐσίαν Θεῷ, Θεὸς κατὰ χάριν γεγένηται· ὅθεν Ἁγιοπρεπεῖς, φωτολαμπεῖς, καὶ θεοειδεῖς, ἀποδετέον αὐτῷ καὶ τοὺς ὕμνους, ἵνα πρεσβεύῃ ἐκτενῶς τῷ Κυρίῳ, ἁγιασθῆναι φωτισθῆναι καὶ θεωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β'.

Θεόσοφε πάτερ Συμεών, σὲ καθαρὸν εὑροῦσα δοχεῖον, ἡ παντουργὸς τοῦ Ἁγίου Πνεύματος χάρις, ὅλον ἑαυτῇ ἐπεσπάσατο, καὶ τοὺς πνευματικοὺς αὐτῆς νόμους, ὡς ἐν βίβλῳ, ἐν ταῖς πλαξὶ τῆς καρδίας σου, τῷ θείῳ φωτὶ διεχάραξεν· ὅθεν τὴν μὲν σὴν διάνοιαν, πηγὴν ἀνέδειξε πολυχεύμονα, ἀναστομοῦσα τῆς ὑψηλῆς γνώσεως τὰ νοήματα· τῇ δὲ γλώσσῃ σου, ὡς καλάμῳ χρησαμένη, τὰ τῆς νηπτικῆς φιλοσοφίας καλλιεγράφησε δόγματα, καὶ παρακαταθήκην αὐτά, τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ κατέλιπεν· Ὅσιε πάτερ Ἁγιώτατε.

Ἦχος γ'.

Τίς μὴ δοξάσει, ἢ τίς μὴ ὡς Ἅγιόν σε τιμήσει, Συμεὼν θεοδίδακτε, σὲ γὰρ ἡ Ἁγία Τριάς, διὰ τῆς Ἁγιαστικῆς ἐδόξασέ σε χάριτος· σοῦ ὁ βίος Ἅγιος, θαύμασι πολλοῖς θεόθεν κεκοσμημένος· τὸ τέλος σου Ἅγιον, καὶ τὰ συγγράμματά σου λαμπρότερον σάλ-

πιγγος, τὴν σὴν κηρύττουσιν ἁγιότητα. Ἅγιος οὖν ἀληθῶς ὑπάρχων, καὶ πρὸς Θεὸν πολλὴν ἔχων τὴν παῤῥησίαν, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν ἐκ πόθου δοξαζόντων, τὸ σὸν Ἅγιον ὄνομα.

Ἦχος δ'.

Κροτήσωμεν ἐν ᾄσμασι σήμερον πιστοί, ἐπὶ τὴν θείαν μνήμην, τοῦ νέου θεολόγου Συμεών· οὗτος γὰρ τῶν αἰσθητῶν ἀφιστάμενος, εἰς ἑαυτὸν νοερῶς συνανεστράφη· συστραφεὶς δέ, προσευχὴν νοερὰν ἐπλούτησε, πλουτήσας δὲ ταύτην, τὸ εἰδεχθὲς προσωπεῖον τῶν παθῶν ἀπεκάθηρε, καθαρθεὶς δὲ τὴν εἰρήνην τῶν λογισμῶν ἐκτήσατο· εἰρηνεύσας δέ, ἐταπεινώθη· ταπεινωθεὶς δέ, τῆς θείας ἀγάπης κατηξιώθη· ἀγαπήσας δέ, θείαν μὲν ἔλλαμψιν ἐν τῷ νοΐ, ἐν δὲ τῇ καρδίᾳ, τὸν ἐνυπόστατον ἔλαβε τῆς θείας χάριτος φωτισμόν, ὅθεν ὡς παθὼν τὰ θεῖα, καὶ ἀσφαλῶς ταῦτα ἔμαθε, καὶ ὡς μαθών, ἀφθόνως ἐδίδαξε, καὶ τοῦ τῆς θεώσεως ὑπερφυοῦς δώρου ἡμῖν μετέδωκε, πρεσβεύων ἐκτενῶς τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος ὁ αὐτός.

Ἄνθρωπε τοῦ Θεοῦ, καὶ νέε Θεολόγε, καὶ Ἄνερ ἐπιθυμιῶν τῶν τοῦ Πνεύματος, σὺ τὸ ἀληθινὸν μάννα τὸ Χριστόν, ἀεννάως ἀναβλύζων, ἔχων ἐν καρδίᾳ σου, τὰς θεολογικὰς διδασκαλίας σου ἡμῖν παρέθηκας, ὡς μάννα πνευματικὸν καὶ οὐράνιον, τοῖς πᾶσι τὰ πάντα γινόμενον, κατὰ τὸ ἐν ἐρήμῳ πάλαι μάννα· δι' ὧν φωτίζεις τὸν νοῦν, τὴν καρδίαν κατανύσσεις, ἡδύνεις τὴν ψυχήν· ἀκοὴν καταπλήττεις, διάνοιαν ἐξιστᾷς, καὶ τῆς γῆς καὶ τῶν γηΐνων ταύτης μετατίθης, κόρον οὐκ ἐπάγεις, ἀλλὰ καινὸς ἀεὶ τοῖς ἀναγινώσκουσιν εὑρίσκεται· ὄντως διὰ στόματός σου, πνεῦμα τὸ πανάγιον ἐλάλησε, τὸ φωτίζον καὶ ἁγιάζον τὰς ψυχὰς ἡμῶν.



Δόξα, ἦχος, πλ. ά.

Τὸν ἄδυτον γνόφον τῆς ἐν πνεύματι θεωρίας εἰσελθών, Συμεὼν θεοδίδακτε, τὸν δι' ὑπερβολὴν φωτοχυσίας ὄντα ἀπρόσιτον, αὐτῷ τῷ μὴ ἰδεῖν μηδὲ γνῶναι, ἰδεῖν καὶ γνῶναι κατηξιώθης, τὸν ἐν αὐτῷ ὄντα ὑπεράγνωστον Θεὸν καὶ ἀόρατον· τοῦτο γάρ ἐστι τὸ ὄντως ἰδεῖν καὶ γνῶναι· ὅθεν αὐτόν, ὡς οὐδὲν ὄντα τῶν πάντων ὑπερουσίως, δι' ἀφαιρέσεως καὶ ἀποφατικῆς θεολογίας ἐθεολόγησας, πάντων ἐξιστάμενος τῶν ὄντων, αἰσθητῶν καὶ νοητῶν, (ἤδη δὲ καὶ σεαυτοῦ,) καὶ ἐν μόνῳ τῷ Θεῷ ὤν· ὃν καθικέτευε, σωθῆναι τοὺς τὴν μνήμην σου γεραίροντας.

Καὶ νῦν, Θεοτοκ.—Μακαρίζομέν σε.

Εἰς τὸν ς. σχρ. προσόμ. ἦχος πλ. ά. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ θεοφώτιστος νοῦς, θεολογίας, ὁ κανὼν ὁ εὐθύτατος, Τριάδος ὁ ἐννοήσας, βαθμοὺς καὶ μέτρα καλῶς, δεύτερον καὶ πρῶτον τῆς θεότητος. Πατὴρ μὲν γὰρ αἴτιος, τοῦ Υἱοῦ ἀλλ' οὐ πρότερος, Υἱὸς δὲ πάλιν, ἐκ πατρὸς ἀλλ' οὐ δεύτερος· ὁμοούσιος, ἡ Τριὰς γὰρ καὶ σύνθρονος, ἄῤῥητος ἀκατάληπτος, συνάναρχος ἄτμητος, καὶ συναΐδιος ὅλη, Πατὴρ Υἱὸς Πνεῦμα Ἅγιον· ἣν νῦν ἐκδυσώπει ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Τὸ Στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη.

Χαίροις ὁ ἱερὸς γραμματεὺς τῆς ὑψηλῆς θεοσοφίας τοῦ πνεύματος, ταμεῖον τῶν θεαμάτων, τῶν μυστικῶν τοῦ Θεοῦ, γλῶσσα ἐκκλησίας ἡ ἡδύλαλος, ὁ γνοὺς τὸ μυστήριον, ἁρπαγῆς τὸ ἀπόῤῥητον, μῆκος καὶ πλάτος, βάθος ὕψος τῆς γνώσεως, ἁγιότητος, ἐκμαγεῖον δυσμίμητον, ἄγαλμα τὸ τῆς χάριτος, εἰκὼν Χριστοῦ ἔμψυχος, φωτὸς ἀπαύγασμα πρώτου, γόνου βροντῆς ὁ ἀπόγονος, Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στόμα δικαίου ἀποστάζει σοφίαν.

Χαίροις τῶν ἀσκητῶν καλλονή, τῶν Ἱερέων, τὸ περίδοξον καύχημα, χαρίτων θείων ὁ οἶκος, τῶν ἀρετῶν θησαυρός, τῆς διπλῆς ἀγάπης ἐνδιαίτημα, πραότητος σκήνωμα, προσευχῆς ἐργαστήριον, τῆς θεωρίας, καὶ τῆς πράξεως τέμενος, ταπεινώσεως, τὸ τερπνὸν καταγώγιον, λύχνε τῆς διακρίσεως, ἀστὴρ διοράσεως, καὶ προοράσεως μέγας, Ἥλιος λάμπων τὰ πέρατα, Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος

Δόξα, ἦχος, πλ. δ'.

Δεῦτε ἅπαντα τὰ πλήθη τῶν πιστῶν, ἐπὶ τῇ μνήμῃ τοῦ θεολόγου Συμεὼν συνελθόντα, εὐχαριστήριον αἶνον τῷ Θεῷ προσάξωμεν λέγοντες· δόξα τῇ περὶ ἡμᾶς φιλανθρωπίᾳ σου Κύριε, ὅτι τὸν αὐτόν σου θεράποντα, τοῖς σοῖς πλουσίοις χαρίσμασι καταγλαΐσας, καὶ νέον θεολόγον καταστήσας, ἡμῖν φωστῆρα τοῦτον δέδωκας, εἰς φωτισμὸν τῶν ἐσκοτισμένων, ὁδηγὸν τῶν πλανημένων, ἀλείπτην τε τῶν μοναστῶν· καὶ κέντρον τῶν ἀμελούντων· δι' οὗ διδασκόμεθα ζειτεῖν ἀεί, διὰ νοερᾶς ἐπιστροφῆς, ἐν ἑαυτοῖς γνωστῶς κτήσασθαι, τὴν χάριν τοῦ Ἁγίου Πνεύματος, καὶ τὸν ἀῤῥαβῶνα ἐντεῦθεν λαβεῖν, τῆς τελείας ἐν οὐρανοῖς ἀπολαύσεως, ἧς καὶ ἡμᾶς ἀξίωσον ὁ Θεός, διὰ τὸ μέγα σου ἔλεος.

Καὶ νῦν Δέσποινα πρόσδεξαι· ἢ τὸ παρόν· Θεοτοκ. ὁ αὐτός·

Ἀνύμφευτε παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκὶ Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου πανάμωμε· ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων· νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Νῦν ἀπολύεις. Τρισάγιον, κτλ. τὸ Ἀπολυτίκιον ζήτει εἰς τὸν μικρὸν ἑσπερινόν· ὃ ψάλλομεν δίς· καὶ τό, Θεοτόκ. Παρθένε ἅπαξ· εἰ δὲ οὐκ ἔστιν Ἀγρυπνίαν, Θεοτοκίον ψάλλομεν ἕτερα Σὲ τὴν μεσιτεύσασαν, ταὐτοτρόπως καὶ εἰς τό, Θεὸς Κύριος.



Εἰς τὸν Ὄρθρον, μετὰ τὴν ά. ςχλ. Καθίσματα

ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Ἡ μνήμη σου σοφέ, Συμεὼν τελουμένη, γνησίως παρ' ἡμῶν, τῶν φιλούντων σε τέκνων, τὸν νοῦν ἡμῶν κατηύγασε, καὶ καρδίαν πρὸς πλείονα, πόθον ἤγειρε, τῶν θεοπνεύστων σου λόγων, καὶ ἐθέρμανε, πρὸς ἣν ἐν τούτοις διδάσκεις, σαφῶς τελειότητα.

Δόξα, ἕτερον.

Ἐπέφανεν ἰδού, Θεολόγου τοῦ νέου, ἡ εὔσημος ἡμῖν, καὶ σεβάσμιος μνήμη, ἐν ᾗ ἀναμιμνήσκουσα, τὴν αὐτοῦ ἁγιότητα, μεγαλύνεται, ὑπὸ πιστῶν φιλεόρτων, καὶ κηρύττεται, ἐπ' ἐκκλησίας ὡς οὖσα, τοῖς πᾶσι σωτήριος.

Καὶ νῦν, Θεοτοκίον ὅμοιον.

Παρθένος ἀληθῶς, πρὸ τοῦ τόκου παρθένε, παρθένος ἀληθῶς, ἐν τῷ τόκῳ παρθένε, παρθένος Ἀειπάρθενος, μετὰ τόκον διέμεινας· ὅθεν δέομαι, ὡς ἡγεμὼν τῶν παρθένων, παρθενεύειν με, νοΐ ψυχῇ σώματί τε, Παρθένε ἐνίσχυσον.

Μετὰ τὴν β'. ςχλ. Καθίσματα.

Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Καταπλήττει πάντα νοῦν, τὸ γεγονὸς θαῦμα ἐν σοί, Θεολόγε Συμεών, σὺ γὰρ ὡράθης ὑπὲρ γῆς, ἐν τῷ προσεύχεσθαι πάτερ τέσσαρας πήχεις, ἱστάμενος σοφέ, ὥσπερ τις ἄϋλος, μετέωρός ποτε, Θεοῦ ὡς Ἄγγελος, φορῶν εἰσέτι τὸ γεῶδες, καὶ κάτω βρίθον τοῦ σώματος, ὢ οἵας δόξης, ἧς ἠξιώθης, θεοφόρε μακάριε.

Δόξα, ἕτερον ὅμοιον.

Θεολόγε θεωρέ, τῶν οὐρανίων ἀγαθῶν, ὑμνητὰ τῆς τριφεγγοῦς, μιᾶς θεότητος καὶ νῦν, δοξάζομέν σε τὸν δόξης ἀξιωθέντα, παρὰ τοῦ Πατρός, Υἱοῦ καὶ Πνεύματος, οἶκος καὶ Ναός, θεῖος γενόμενον· τῆς παναγίας ὅσιε Τριάδος, ὁ μύστης ταύτης καὶ πρόμαχος, χαίροις οὖν κλέος, τὸ τῶν ὁσίων, Συμεὼν θεοδόξαστε.

Καὶ νῦν, Θεοτοκίον ὅμοιον.

Ἀπειρόγαμε Ἁγνή, πῶς συλλαμβάνεις ἐν γαστρί, τῶν ἁπάντων τὴν

πνοὴν, περιλαμβάνοντα χερσὶ, φράσον ἡμῖν τὸν λόγον τοῦ Μυστηρίου σου· πανάληθές ἐστι, τοῦτο ὦ ἄνθρωπε, καὶ παῦσαι ἐρευνῶν, τὸ δυσθεώρητον, ὕψος καὶ βάθος, μῆκος καὶ πλάτος, τῆς ἀποῤῥήτου λοχείας μου· νικᾷ γὰρ ὄντως, ἔννοιαν πᾶσαν, τῶν βροτῶν καὶ Ἀγγέλων.

Μετὰ τὸν πολυέλεον. Καθίσματα.

Ἦχος, πλ. δ΄. Τὴν σοφίαν καὶ Λόγον.

Ἀρετῶν τὸν λειμῶνα περιελθὼν, καὶ γραφῶν τῶν τοῦ πνεύματος Συμεὼν, τὰ ἄνθη τὰ κάλλιστα, ἀπὸ τούτων συνέλεξας, δίκην μελίσσης πάτερ, σοφῆς φιλιπόνου τε, καὶ ὡς κηρίον πρᾶξιν, ἐκτήσω· ἐχέφρονα, ὡς δὲ νεκταρῶδες, καὶ γλυκύτατον μέλι, παμμάκαρ ἐπλούτησας, θεωρίαν τὴν ἔμπρακτον, θεοπτίας τὴν πρόξενον· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, ἡμῖν τοῖς πόθῳ τιμῶσι, τὴν Ἁγίαν μνήμην σου.

Δόξα, ἕτερον ὅμοιον.

Συγγραμμάτων ἡ βίβλος πάτερ σοφὲ, ἰατρεῖον ὑπάρχει πνευματικὸν, ξύλον ζωῆς ἄφθαρτον, ἀμβροσία τοῦ νέκταρος, τὸ ἔλαιον καὶ μέλι ἐκ πέτρας τὰ ῥεύσαντα, τοῦ Ἀερμὼν ἡ δρόσος, τρυφῆς ὁ παραδεισος, τὸ ἀμαλθείας κέρας, τῶν ᾀσμάτων τὸ ᾆσμα, τὸ θησαυροφυλάκιον, τῆς σοφίας καὶ γνώσεως· διὰ τοῦτο βοῶμέν σοι· χάρισαι ἡμῖν νοητῶς Θεολόγε, τούτων τὰς ποιότητας, τοῖς μετὰ πόθου τιμῶσι, τὴν ταύτην ἀνάγνωσιν.

Καὶ νῦν, Θεοτοκίον ὅμοιον.

Ἡλιόμορφον ἅρμα τὸ τοῦ Δαβὶδ, πορφυρόστρωτος κλίνη τοῦ Σολομῶν, τόμος θεοχάρακτος, Ἡσαΐου καὶ ἔμψυχος, σκηνὴ τοῦ Μωϋσέως, καὶ τεῖχος ἀδάμαντος, σὺ τοῦ Ἀμμὼς ὑπάρχεις, λυχνία χρυσήλατος, ἡ τοῦ Ζαχαρίου, Δανιὴλ τε τὸ ὄρος, πυξίον κροκόλευκον, Ἀββακοὺμ καὶ τὸ ἔξοχον, προφητῶν περιήχημα, πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων, ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, Παρθένε τὸν τόκον σου.



Οἱ Ἀναβαθμοί· τὸ ά. ἀντίφωνον τοῦ δ΄. ἤχου· προκείμενον. Τὸ στόμα μου λαλήσει σοφίαν· τὸ, Πᾶσα πνοή. Εὐαγγέλιον ὁσιακόν· ὁ Ν΄. Δόξα, Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις ἐλεῆμον. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Καὶ τὸ ἰδιόμελον. ἦχος πλ. β΄.

Τὴν ἐτήσιον μνήμην σου σήμερον, Θεολόγε Συμεὼν ἑορτάζομεν· σὺ γὰρ τὸ πῦρ, ὃ ἦλθεν ὁ Χριστὸς βαλεῖν ἐπὶ τῆς γῆς, ἐν σῇ καρδίᾳ δεξάμενος, ὁ πρώην πήλινος ἀνδριὰς, πύρινος ὅλος γέγονας, ὡς πεπυρακτωμένος σίδηρος· ὅθεν καὶ τὸ βαρὺ τοῦ σώματός σου πάχος, μετεχαλκεύθη τῷ θείῳ πυρὶ, πρὸς τὸ λεπτότερον καὶ θειότερον, μετὰ δὲ τὸ θεῖον πῦρ, τῆς, λεπτῆς αὔρας, τοῦ θείου φωτισμοῦ ὁ νοῦς σου ἀξιωθεὶς, πολλὰ διεπόρθμευσε τοῦ κάλλους τεκμήρια· ὅθεν καὶ τῷ ἱερουργεῖν, ὡς ἥλιος τοῖς ὁρῶσι ἐδείκνυσο· ὢ τοῦ θαύματος! οἵων δωρεῶν ἀξιοῦται ἡ χοϊκὴ βροτῶν φύσις· Χριστοῦ τῇ χάριτι, σοῦ σώζοντος τὰς ψυχὰς ἡμῶν.

Οἱ Κανόνες· ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς ς΄. καὶ τοῦ Ἁγίου οἱ δύο, εἰς ή. ἀνὰ τέσσαρα· ὁ Κανὼν τῆς Θεοτόκου, ἄνευ ἀκροστιχίδος, φέρων τὰ ὅσα πρὸς αὐτὴν ὀνομαστήρια.

Ὠδὴ ά. ἦχος δ΄. ὁ Εἱρμὸς, δίς.

» Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ λόγον ἐ-
» ρεύξομαι, τῇ βασιλίδι Μητρί· καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων,
» καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

Ὑμνῆσαι βουλόμενος, τὰ μεγαλεῖά σου Ἄχραντε, τοῦ λόγου μοι δώρησαι, τὴν καλλιέπειαν, Μήτηρ πέλουσα, τοῦ μόνου Θεοῦ Λόγου, καὶ λῦσιν πρυτάνευσον, τῶν ἐπταισμένων μοι.

Μωσῆς ὁ θεόπνευστος, βάτον προεῖδέ σε Δέσποινα, πυρὶ φλεγομένην μὲν, μὴ καιομένην δὲ, προπιστούμενος, τὸ ἐπὶ σοὶ Παρθένε, χωρέσαν ἐν μήτρᾳ σου πῦρ τῆς θεότητος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Προφήτης ὁ ἔνθεος, ῥάβδον καὶ ῥίζαν προέφη σὲ, Μαρία θεόνυμφε, ὁ μεγαλόφωνος· ἡμεῖς δ' ἔφορον, τοῦ ὄρους σε καλοῦμεν, οἱ τρόφιμοι Δέσποινα, νῦν καὶ προστάτιδα.

Ἐκ θείας ἀκήκοε, γῆ ὁ θεόπτης Ἁγία σε, φωνῆς ὀνομάζουσα, τὴν ὑπερένδοξον, διὸ Δέσποινα, πόλου καὶ γῆς ὡς οὖσα, συντήρει καὶ φύλαττε, τοὺς σὲ δοξάζοντας.

Ὁ Κανὼν τοῦ Ἁγίου· οὗ ἡ ἀκροστιχίς.

Τὸν Συμεὼν γεραίρω τὸν θεολόγον.

Ἦχος, καὶ Εἱρμὸς, ὁ αὐτός.

Τοῦ Πνεύματος ὄργανον, ἀναδειχθεὶς ἱερώτατε, Συμεὼν καὶ χάριτος, κιθάραν εὔηχον, κἀμὲ ποίησον, τῆς χάριτος κιθάραν, ὅπως σου τὰς χάριτας, μέλψω ἐν χάριτι.

Ὁ νοῦς ὁ ὁλόφωτος, θεολογίας ἐπέφανε, βροντὴ ἡ οὐράνιος, σήμερον ἤχησε, τὰ βροντόφωνα, διδάγματα σοφίας, φωτίσθητε ἅπαντες, καὶ ἐνωτίσθητε.

Νοεῖν σου τίς δύναται, τῆς θείας γνώσεως πάνσοφε, ὕψος δυσανάβατον, βάθος ἀνέφικτον, δυσθεώρητον, πλάτος καὶ μῆκος ἅμα, ἧς περ κατηξίωσαι, θεοειδέστατε.

Θεοτοκίον.

Στολὴ χρηματίσασα, τοῦ σαρκωθέντος βασίλειος, Θεοῦ Λόγου πάναγνε, τὴν θεοκόσμητον, ἣν ἀπώλεσα, στολὴν χάριτος θείας, πάλιν με ἀμφίασον, τῇ μεσιτείᾳ σου.

Ἕτερος κανὼν, ἄνευ ἀκροστιχίδος.

Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Τριὰς Ἁγία, καὶ Μονὰς Τρισήλιε, ἡ φωτουργαία πηγὴ, ἐξ ἧς πᾶσα δόσις, ἀγαθὴ κατέρχεται, φώτισον τὴν καρδίαν μου, ἵνα μέλψω ἀξίως, τὸν σὲ ὀρθῶς δογματίσαντα, καὶ θεολογήσαντα ἄριστα.

Πάντα τὰ βάθη, τοῦ Ἁγίου Πνεύματος, ἐν θείῳ Πνεύματι, ἐρευνήσας πάτερ, τούτοις ὑποβρύχιος, οὐ γέγονας ἀοίδιμε, ἀλλ' εὑρὼν μαργαρίτας, πολυτιμήτους ἐξήγαγες, τῆς θεολογίας τὰ δόγματα.



Ἔσοπτρον πάτερ διαυγὲς νεόσμικτον, ἀπεργασάμενος, νοῦν καὶ τὴν καρδίαν, δαψιλῶς εἰσδέδεξαι, τὰς ἀστραπὰς τοῦ πνεύματος, καὶ μακάριος ὤφθης, ὅτι Θεὸν ἐν καρδίᾳ σου, εἶδες ὡς αὐτὸς ἀπεφήνατο.

Θεοτόκιον.

Σὺ ὤφθης Κόρη, ἀνδριὰς θεόγλυπτος, ἄγαλμα κτίσεως, θαῦμα τῶν Ἀγγέλων, ἴνδαλμα παρόμοιον, ἀρχικῆς ὡραιότητος, παναρμόνιος ὕλη, τοῦ Λόγου τῆς σωματώσεως, καὶ Θεοῦ ἀμίμητον μίμημα.

Καταβασ. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ'. ὁ Εἱρμὸς. δίς.

» Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγὴ, θίασον
» συγκροτήσαντας, πνευματικὸν στερέωσον, ἐπὶ τῇ θείᾳ δόξῃ σου,
» στεφάνων δόξης ἀξίωσον.

Ἀλήθειαν κράζει σε Παρθένε, καὶ γῆν τε ἐπίσης ποθητὴν, ὁ ψαλμῳδὸς ἐν πνεύματι, ἡμεῖς δέ σου οἱ τρόφιμοι, προστάτιδα καὶ Δέσποινα, τοῦ δὲ σοῦ κλήρου κηρύττομεν.

Θαιμὰν ὁ προφήτης σε κηρύττει, Παρθένε ὁ θεῖος Ἀββακούμ, καὶ ὄρος αἰνιττόμενος, τὸν ἀπὸ σοῦ τμηθέντα τε· λίθον ἀτμήτως Ἄχραντε, ὃν Δανιὴλ προεώρακεν.

Ἐλαία κατάκαρπόν σε ἔφη, ἑστῶσα ἐν οἴκῳ τοῦ Θεοῦ, καὶ κιβωτὸν πανάχραντε, ὁ ψαλμῳδὸς ἐν πνεύματι, ἡμεῖς δέ σε τὴν ἔφορον, Σώτηρα πάντων κηρύττομεν.

Καλεῖ σε τὴν μόνην Θεοτόκον, καὶ θρόνον Παρθένε ὑψηλὸν, ὁ μεγαλοφωνότατος, καὶ ἄλλος πύλην λέγει σε, ἡμεῖς δὲ τῶν θαυμάτων σου, κατατρυφῶντες ὑμνοῦμέν σε.

Τοῦ Ἁγίου· ὁ αὐτός.

Ὑπῆρξας ναὸς ἡγιασμένος, Θεοῦ ὥσπερ θύτην καθαρὸν, τὸν νοῦν σου ἔχων Ἅγιε, τὴν προσευχὴν ὡς θῦμα δὲ, καὶ ὡς θυσιαστήριον, τὴν εὐθυτάτην καρδίαν σου.

Μωσέως ὡς πάλαι ἐδοξάσθη, ἡ ὄψις συνόντως τῷ Θεῷ, οὕτω καὶ σοῦ τὸ πρόσωπον, ἐν τοῖς ἀδύτοις μένοντος, θείῳ φωτὶ δεδόξασται, ὁλολαμπὲς ὡς ὁ ἥλιος.

Ἐφάνη ἐν χρόνοις τοῖς ἐσχάτοις, ἡ βίβλος σου πάτερ Συμεών, κλίμαξ ἡμᾶς ἀνάγουσα, ἐκ γῆς πρὸς τὰ οὐράνια, καὶ κώδων θεοκρότητος, τοὺς κοιμωμένους ἐγείρουσα.

Θεοτοκίον.

Ὡς κόσμος ἐν κόσμῳ ἀνεδείχθης, παμμέγιστος Κόρη ἐν σμικρῷ, τοῦ ἐξ οὐκ ὄντων ἅπαντα, τὸν κόσμον ὑποστήσαντος, κόσμῳ γὰρ ὁ ἀχώρητος, σοὶ χωρητὸς ὅλος γέγονε.

Ἄλλος. Οὐρανίας ἁψῖδος.

Χελιδὼν ἀνεδείχθης, σὺ ᾠδικὴ πάνσοφε, διὰ τῆς σῆς βίβλου φωνοῦσα, καὶ τὴν ἀνάκλησιν, τῆς θείας χάριτος, γλυκὺ ὡς ἔαρ δηλοῦσα, ἣν μετὰ τὸ βάπτισμα, φεῦ ἀπωλέσαμεν.

Σοὶ ἐσταύρωται κόσμος, ὦ Συμεὼν Ὅσιε, διὰ πρακτικῆς καὶ σὺ πάτερ κόσμῳ ἐσταύρωσαι λογιστικῶς τῷ νοΐ, διπλῆ Σταυροῦ γὰρ ἡ πρᾶξις, ὡς πατέρες λέγουσι, τοῦτο οἱ ὅσιοι.

Ταῖς ἀκτῖσι ταῖς θείαις, προσομιλῶν ὅσιε, αἷς περ φύσει πρόσεστι πάντων ἡ ἀποκάλυψις, τὰ πόρρω ἔβλεπες, ὥσπερ παρόντα τρισμάκαρ, καὶ ὡς ἐνεστῶτα δὲ, αὖθις τὰ μέλλοντα.

Θεοτοκίον.

Ὡς ὁ σκῦλα εὑρίσκων, καὶ θησαυρὸν τέρπεται, οὕτως εὑρηκὼς κἀγὼ Κόρη, σὸν θεῖον ὄνομα, καὶ τὴν εἰκόνα σου, ὡς πολυτάλαντον πλοῦτον, χαίρω ὀνομάζων σε, καὶ ἀσπαζόμενος.

Καταβασ. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Αἴτησις, εἶτα, τὰ Καθίσματα.

Ἦχος δ'. Ὁ ὑψωθείς.

Τῶν Μοναστῶν ὑπογραμμὸς καὶ κοσμήτωρ, τῶν Ἀσκητῶν χειραγωγὸς καὶ μιγάδων, παιδαγωγὸς καὶ πάντων τὸ ἐντρύφημα, ὤφθης ἱερώτατε, Συμεὼν Θεολόγε· ὅθεν καὶ νῦν πρέσβευε, παῤῥησίᾳ τῷ Κτίστῃ, ὑπὲρ ἡμῶν τῶν πίστει καὶ στοργῇ, ἀεὶ τιμώντων τὴν μνήμην σου Ὅσιε.



Δόξα, ἕτερον ὅμοιον.

Τῶν θεοφόρων εἷς καὶ γνήσιος πέλων, τῶν θεολόγων εἷς καὶ τρίτος ὑπάρχων, καὶ τῶν ὁσίων εἷς καὶ μέγας γέγονας, διὰ μετριότητος, δι' ἀγάπης τελείας, Συμεὼν θεόσοφε, καὶ καθάρσεως πάσης, καὶ δι' αὐτῶν παντοίων ἀρετῶν, δι' ὧν ὑψώθης πρὸς Κύριον Ὅσιε.

Καὶ νῦν. Θεοτοκ. ὅμοιον. Οὐ σιωπήσωμέν ποτε Θεοτόκε.

Ὠδὴ δ'. ὁ Εἱρμὸς, δίς.

» Τὴν ἀνεξιχνίαστον θείαν βουλὴν, τὴν ἐκ τῆς Παρθένου σαρκώσεως,
» σοῦ τοῦ Ὑψίστου, ὁ προφήτης Ἀββακοὺμ, κατανοῶν ἐκραύγαζε·
» δόξα τῇ δυνάμει σου Κύριε.

Κράζει σε Θεόνυμφε ὁ ψαλμῳδὸς, Μήτηρ καὶ Σιὼν ὁ θεόπνευστος, ἀλλὰ καὶ Μήτηρ, οὖσα πάντων τῶν πιστῶν, ἐπισκοπεῖς τὰ τέκνα σου, τὰ μετὰ αἰδοῦς σὲ δοξάζοντα.

Κλίνην καὶ φορεῖόν σε Μήτηρ Θεοῦ, Ἆσμα τῶν Ἀσμάτων προέφησεν, οἱ δὲ τοῦ κλήρου, σοῦ Παρθένε Μονασταὶ, Σκέπην ἀεὶ καὶ Σώτηρα, καὶ προστάτιδα πάντες σε κράζομεν.

Χεῖρα τεταμένην τε καὶ κεφαλὴν, Ἰεζεκιὴλ μεμαρτύρηκε, βιβλίον ἄλλος, τὴν Παρθένον καὶ Ἁγνὴν, ἡμεῖς δὲ Θεοτόκον σε, τὴν ἡμῶν προστάτιδα κράζομεν.

Πάλαι Ἡσαΐας σε τόμον καινὸν, ὁ μεγαλοκῆρυξ προέφησε, καὶ Ζαχαρίας, σὲ λυχνίαν τοῦ Φωτὸς, ἐν ᾗ Χριστὸς ἐσκήνωσε, φῶς τὸ ἐκ φωτὸς Ἀειπάρθενε.

Τοῦ Ἁγίου, ὁ αὐτὸς Εἱρμός.

Νόμοις τοῦ Δεσπότου ὑπείκων σοφὲ, ἐντολὰς ἁπάσας ἐπλήρωσας,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἐν αἷς καὶ εὗρες, κεκρυμμένον τὸν Χριστὸν, τὸν ταύτας ἐντειλάμενον, καὶ αὐτοῦ τὴν χάριν ἐπλούτησας.

Γλῶσσα ἡ βρενθύουσα ῥητορικαῖς, τέχναις καὶ μεθόδοις οὐ δύναται, ἐγκωμιάσαι τὰ χαρίσματα τὰ σὰ, ἃ ὑπὲρ φύσιν εἴληφας, πάτερ Συμεὼν θεοδόξαστε.

Εὗρες τὸ δυσεύρετον πάλαι καὶ νῦν, χρῆμα Συμεὼν πάτερ ὅσιε, τὸ θεωθῆναι, καὶ ἁρπάζεσθαι τὸν νοῦν, γῆθεν εἰς τὰ οὐράνια, ὢ τοῦ ξενηκούστου ἀκούσματος.

Θεοτοκίον

Ῥήμασιν ἑπόμενοι Ἄχραντε σοῖς, πᾶσαι γενεαὶ μακαρίζομεν, σὲ ὡς τεκοῦσαν, τὸν Μακάριον Θεὸν, τὸν μακαρίους δείξαντα, νόας καὶ βροτοὺς θείᾳ χάριτι.

Ἄλλος· Σύ μου ἰσχὺς Κύριε.

Σὺ εὑρηκὼς, ἥλιον ἄλλον νοούμενον, ἐν καρδίᾳ, καὶ ὁδῷ χρησάμενος, φωτὶ αὐτοῦ, ἔφθασας σοφὲ, πνεύματος δυνάμει, εἰς ὄρη τὰ ὑπερκόσμια, καὶ ἤκουσας καὶ εἶδες, ἃ οὐκ ἔστιν ἀκοῦσαι, καὶ ἰδεῖν ἐμπαθῆ τινὰ ἄνθρωπον.

Ὁ Ἰησοῦς, σοὶ μόνος ἦν ἀδολέσχημα, τρυφὴ γλώττης, καρδίας μελέτημα, πνοὴ ζωὴ, φῶς καὶ ἡδονὴ, γλυκυτάτη θέρμη, φωτίζουσα τὴν διάνοιαν, εὐφραίνουσα καρδίαν, πυρπολοῦσα τὰ πάθη, καὶ δακρύων πηγάζουσα ῥεύματα.

Τί μοι χρυσὸς, τί μοι ὁ λίθος ὁ σάπφειρος, τί μοι τ' ἄλλα, βίου περισπούδαστα; ἐμοὶ τρυφὴ, δόξα καὶ χαρὰ, τὰ θεόπνευστά σου, ὑπάρχει πάτερ συγγράμματα, ἐν οἷς τρυφῶ καὶ φλεγόμενος βλύζω, ἐξ ὀμμάτων γλυκύτατα δάκρυα.

Θεοτοκίον.

Ὢ Μαριὰμ, τὸ κοσμοπόθητον ὄνομα, σὺ Παρθένε, Θεοῦ μέσον ἔστηκας, καὶ τῶν βροτῶν, καὶ τὸν μὲν Θεὸν, βροτὸν ἀπειργάσω, τοὺς δὲ βροτοὺς



θεοὺς χάριτι, εὐχαριστοῦμεν Κόρη, μεσιτείᾳ σου ταύτῃ, δι' ἧς ἅπαντα κόσμον διέσωσας.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

Ὠδὴ, ε. ὁ Εἱρμὸς, δίς.

» Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ ἀπειρόγαμε
» Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεὸν, καὶ τέτοκας ἄχρονον
» Υἱὸν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύουσα.

Λαβὶς θείου ἄνθρακος, ὑπάρχεις παντευλόγητε, ἔτι καὶ Παρθένος γαλουχοῦσα, ὡς καὶ προφήτης, Δέσποινα μόνη Ἁγνὴ, κατὰ Ἡσαΐου τὴν φωνὴν, ὅθεν σὲ δοξάζομεν, καὶ πιστῶς μακαρίζομεν.

Παρέστης βασίλισσα, ἐκ δεξιῶν τοῦ Κτίστου σου, τοῦ παμβασιλέως Θεοτόκε, ὁ προφητάναξ Δαβὶδ ἐν πνεύματι, ἔφη ὁ δὲ κλῆρός σου ἡμεῖς, σῆς πλουτοῦμεν χάριτος, σοῦ εὑρόντες σε πρόμαχον.

Πλησίον σὲ ἔφησε, καὶ Ἀδελφὴν καὶ Νύμφην τε, Ἆσμα Θεοτόκε τῶν ᾀσμάτων, αἱ δὲ Μοναί σου, λαμπροφοροῦσαι σεπτῶς, ἐν Ἄθω κοσμοῦσι τῇ μορφῇ, τὰ εἰκονοστάσια, καὶ κροτοῦσί σου ᾄσματα.

Πηγήν σε ἐνσφράγιστον, καὶ κῆπον κεκλεισμένον τε, βίβλος ἡ αὐτή σε ὀνομάζει, οἱ δὲ τοῦ Ἄθω πανευσεβεῖς Μονασταὶ, ἔφερον προστάτιδα φρουρὸν, σκέπην καὶ μεσίτριαν, σὲ καλοῦσι τὴν Δέσποιναν.

Τοῦ Ἁγίου, ὁ αὐτός.

Ἀγάπης καιόμενος, πυρὶ μέσην καρδίαν σου, ὅλος σεαυτοῦ ὅλου ἐξέστης, καὶ Θεῷ μόνῳ, ὅλῳ συγκέκρασας, τῷ ἠγαπημένῳ ὑπὸ σοῦ, ὡς ἓν πνεῦμα γίνεσθαι, μετ' αὐτοῦ ἱερώτατε.

Ἰδοὺ νῦν ἀνέτειλε, τὸ φῶς τῆς θείας χάριτος, ἰδοὺ ἀμβροσία ἡ τοῦ μάννα, τοῦ ζωηῤῥύτου πᾶσι προτίθεται, Συμεὼν ὁ ἔνθεος πατὴρ, δεῦτε καὶ τρυφήσατε, οἱ ζωῆς ὀρεγόμενοι.

Ῥητόρων ἀνώτερος, ἀναδειχθεὶς τῷ πνεύματι, τοὺς περὶ Θεὸν καὶ θείων λόγους, καὶ ὑπολήψεις θεοπρεπέστατα, σὺ ἐθεολόγησας ἡμῖν, ὅθεν νέος κέκλησαι, Θεολόγος φερώνυμε.

Θεοτοκίον.

Ὦ μῆτερ ὁλόφωτε, φωτὸς τοῦ πρώτου φώτισον, ψυχήν μου τὴν ἄφωτον φωτί σου, ἵνα φῶς βλέπω πάλιν τὸ πρώτιστον, ὃ ἐκ σοῦ ἐφώτισεν ἡμᾶς, καὶ σὲ τὴν φωτίσασαν, τοῦτο γὰρ φωτὸς ἴδιον.

Ἄλλος. Ἵνα τί με ἀπώσω;

Ὢ πολλῆς παῤῥησίας, ἧς πρὸς τὸν Δεσπότην ἁπάντων ἐπλούτησας, σὺ γὰρ ὥσπερ φίλῳ συνελάλεις αὐτῷ ἐν καρδίᾳ σου, καὶ ὡς πατρὶ τέκνον, περιπλεκόμενος ἐφώνεις· Ἰησοῦ Ἰησοῦ μου γλυκύτατα.

Θεοῦ γέγονας στόμα, ὡς τὸ θεῖον λόγιον φάσκει μακάριε, σὺ γὰρ ταῖς ἐνθέοις, διδαχαῖς σου καὶ λόγοις ἐξήγαγες, ἀπὸ ἀναξίων, πολλοὺς τιμίους καὶ ἀξίους, οὐρανῶν βασιλείας ἀνέδειξας.

Πῶς ἐξείπω τὸ μέγα, ἐπὶ σοὶ γενόμενον θαῦμα τῆς χάριτος· σὺ γὰρ φῶς ὑπάρχων, φῶς ὁρῶν καὶ φωτὶ συγγινόμενος, ἐν φωτὶ καὶ λέγεις, καὶ ἐννοεῖς καὶ καλλιγραφεῖς, τὰ συγγράμματα σοῦ τὰ φωτόμορφα.

Θεοτοκίον.

Ἔχεις Δέσποινα κόσμου, ἔχεις τῇ θελήσει σου δύναμιν σύνδρομον, ὡς τεκοῦσα μόνη, παντοδύναμον λόγον καὶ Κύριον, ὅθεν ἂν σοι μόνον, ἐμὲ θελήσειας σωθῆναι, εὐχερῶς ἐγὼ Κόρη σωθήσομαι.

Καταβασ. Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ ς΄. ὁ Εἱρμός. δίς.

» Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς
» Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα,
» Θεὸν δοξάζοντες.

Θυγάτηρ πέλεις πανάμωμε, κατὰ τὸν ψαλμωδὸν Σολομῶντά τε, τοὺς θεοκήρυκας, μεμνηστευμένην Παρθένον δὲ, κατὰ τὸν θεηγόρον Λουκᾶν ἐν πνεύματι.



Ἰδοὺ ὁ Κύριος κάθηται, ἐπὶ νεφέλης κούφης ἐν πνεύματι, ὁ μεγαλόφωνος, βοᾷ προφήτης Θεόνυμφε, ἡμεῖς δὲ μετ' Ἀγγέλου, χαῖρέ σοι κράζομεν.

Πυρός τε ὅρασις πέφυκας, καὶ θέα ὡς ἠλέκτρου πανάχραντε, ὥσπερ ἐν πνεύματι, ὁ ἱερὸς μεμαρτύρηκε, προφήτης τοῦ Ὑψίστου Ἁγίῳ Δέσποινα.

Ἡμέρα νὺξ καὶ ἀλλοίωσις, κατὰ τὸν προφητάνακτα πέφυκας, Θεογεννήτρια, καὶ ἱλασμὸς τοῖς τιμῶσί σου, τὸν θεῖον χαρακτῆρα, καὶ σὲ δοξάζουσι.

Τοῦ Ἁγίου. ὁ αὐτὸς Εἱρμός.

Τὸν ποταμὸν τὸν ἀέναον, τὸν ἐκ τῆς νοητῆς Ἐδὲμ βλύζοντα, τῆς θείας χάριτος, δεῦτε ἐν ὕμνοις τιμήσωμεν, καὶ τῆς ζωῆς τὰ ῥεῖθρα, αὐτοῦ τρυφήσωμεν.

Ὁ μετανοίας διδάσκαλος, ὁ κῆρυξ φωτισμοῦ τοῦ τῆς χάριτος, ὁ ἱερώτατος, νῦν Συμεὼν μακαρίζεται, ὁ ζήσας ἐν τῷ κόσμῳ, ζωὴν ἰσάγγελον.

Νικήσας σθένει τοῦ πνεύματος, καὶ πόνοις ἐγκρατείας καὶ δάκρυσι, Συμεὼν ὅσιε, πάθη ψυχῆς τε καὶ σώματος, εἰς τὸ τῆς ἀπαθείας ἄκρον ἀνέδραμες.

Θεοτοκίον.

Θεὸν ἀσπόρως συνέλαβες, Παρθένε καὶ ἀκόπως ἐβάστασας, ἐν τῇ κοιλίᾳ σου, ἀφθόρως δὲ τοῦτον ἔτεκες, ὢ τριπλοῦ τεραστίου, τίς οὐκ ἐξίσταται;

Ἄλλος. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον.

Τοῦ πνεύματος, θείαν χάριν ὅσιε, ἐν καρδίᾳ ὡς πηγὴν κεκτημένος, καὶ ὕδωρ ζῶν, καὶ ἀλλόμενον πάτερ, θεοσοφίας ἐξέβλυσας νάματα, καὶ αὔλακας τὰς ψυχικὰς, τηκομένας τῷ δίψει ἐμέθυσας.

Ἐδόθη σοι, καὶ θαυμάτων δύναμις, καὶ ἰάσεων ἡ χάρις ὢ πάτερ·

ἵνα μηδὲν, ὑστερῇς τῶν Ἁγίων, ὅθεν καὶ ζῶν καὶ θανὼν ἀπετέλεσας, θαυμάσια πολλὰ σοφὲ, καὶ ἰάσεις δυνάμει τοῦ πνεύματος.

Ἐξίσταντο, οἱ λαοὶ ἀκούοντες, τὴν σοφίαν τῶν σῶν λόγων ὦ πάτερ, καὶ ὡς ποτὲ, Ἰουδαῖοι ἐβόων, περὶ Χριστοῦ, οὕτως οὗτοι ἐκραύγαζον, ἡ χάρις λόγων ἡ πολλὴ, καὶ σοφία αὐτῷ πόθεν δέδοται;

Θεοτοκίον.

Ἀγκάλας σου, καὶ μαστοὺς ὦ Δέσποινα, τῷ Υἱῷ σου μεσιτεύουσα δεῖξον, μῖξον τοῖς σοῖς, τὰ ἐκείνου Παρθένε, σταυρὸν καὶ λόγχην καὶ ἥλοις καὶ κάλαμον, καὶ οὕτως ἱλέωσαι αὐτὸν, ἐφ᾽ ἡμῖν τοῖς πολλὰ ἁμαρτήσασι.

Καταβασία. Τὴν θείαν ταύτην καὶ πάντιμον. Αἴτησις, καὶ τὸ

Κοντάκιον, ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Τῷ φωτὶ λαμπόμενος, τῷ τρισηλίῳ θεόφρον, Θεολόγος γέγονας, τῆς ὑπερθέου Τριάδος. Ἄνωθεν, σοφίαν λόγων καταπλουτήσας. Ἔβλυσας, θεοσοφίας ἔνθεα ῥεῖθρα. Ἐξ ὧν πίνοντες βοῶμεν. Χαίροις τρισμάκαρ, Συμεὼν ὅσιε.

ὁ Οἶκος.

Τὸ πανάγιον Πνεῦμα, τὸ πρώην τοὺς ἁλιεῖς καὶ ἀγραμμάτους σοφίαν, καὶ ῥήτορας καὶ θεολόγους αὐτοὺς ἀναδεῖξαν, τοῦτο καὶ ἐν τοῖς ὑστέροις καιροῖς τῇ καθαρᾷ σου ψυχῇ ἐνοικῆσαν, Συμεὼν Ἁγιώτατε, ῥήτορα ῥητόρων, καὶ λογίων λογιώτατον, καὶ θεολόγον σε πάνσοφον, τὸν ἀμαθῆ καὶ ἄσοφον ἀπειργάσατο, καλλιγραφοῦντα, καὶ θαυμαστῶς ἐκτιθέμενον, τὰ δόγματα τῆς ὑπερφυοῦς θεολογίας, καὶ τὰ μυστήρια τοῦ θείου φωτός· καὶ τὰς ἐν τῇ ψυχῇ μυστικῶς γενομένας διαφόρους ἐνεργείας, τῆς θείας χάριτος τοῦ Ἁγίου Πνεύματος· ὧν καὶ ἡμεῖς τῆς ἀναγνώσεως ἀπολαύοντες, σὲ μακαρίζομεν ἀξιομακάριστε πάτερ, ὡς ὑπερφυᾶ καὶ οὐράνιον ἄνθρωπον· καὶ τὴν Ἁγίαν ἑορτήν σου μετὰ πόθου ἐκτελοῦντες, ὁμοφώνως βοῶμέν σοι: Χαίροις τρισμάκαρ Συμεὼν ὅσιε.

Εἶτα λέγομεν.

Τῷ αὐτῷ μηνὶ ιβ΄. Μνήμην ἑορτάζομεν τοῦ Ὁσίου καὶ Θεοφόρου πατρὸς ἡμῶν Συμεὼν τοῦ νέου Θεολόγου, μετατεθεῖσαν ἐκ τῆς ιβ΄. τοῦ Μαρτίου μηνὸς, καθ᾽ ἣν καὶ



ἐκοιμήθη, διὰ τὸ συμπίπτειν πάντοτε ἐν ἐκείναις ταῖς ἡμέραις ἡ Ἁγία καὶ μεγάλη τεσσαρακοστή.

Στίχοι.

» Πρώην μὲν εἶχες γλῶτταν ἀντὶ τῆς βίβλου,
» Γλώττης δὲ ἀντὶ, σὴν ἔχεις ἤδη βίβλον.
» Βῆς δύο καιδεκάτη Συμεὼν πόλον ἀστερόεντα. Καὶ τλπ. τοῦ Συναξαριστοῦ:

Ὠδὴ ζ΄. ὁ Εἱρμός. δίς.

» Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν Κτίσαντα, ἀλλὰ
» πυρὸς ἀπειλὴν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον, ὑπερύμνη-
» τε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Παντευλόγητε, τὴν γῆν ἡ οὐρανώσασα, τῷ θείῳ τόκῳ σου, διὸ καλῇ Οὐρανὸς, κατὰ τὸν θεόπνευστον, Δαβὶδ τὸν λέγοντα· ὅτι Κύριος, ἐξ οὐρανοῦ ἐπέβλεψεν, ὁ ἀεὶ εὐλογημένος.

Ἐκ σοῦ Ἄχραντε, ὁ ἥλιος ἀνέτειλε, Χριστὸς ὁ Κύριος, Ἀνατολὴ δὲ οὐκοῦν, καλεῖ σε ἐν πνεύματι, καὶ Δύσιν πάλιν αὐτὸς, ὁ θεόπνευστος, ἡμεῖς δὲ Θεοτόκον σε, τὴν ἀεὶ εὐλογημένην.

Τὰ ὁρμήματα, τοῦ ποταμοῦ εὐφραίνουσι, πόλιν τὴν ἔμψυχον, Θεοῦ τοῦ ζῶντος Ἁγνή· διό περ καὶ Ἥλιος, καὶ πόλις εἶ τοῦ Θεοῦ, ὑπερύμνητε, ὡς ὁ Δαβὶδ προείρηται, ὁ προπάτωρ σου Παρθένε.

Τόπον λέγει σε, ὁ Ἰακὼβ καὶ Κλίμακα, καὶ πλίνθον ἕτερος, οἱ δὲ τοῦ σοῦ φοιτηταὶ, τοῦ κλήρου Πανάχραντε, λιμένα εὔδιον, καὶ ὑπέρμαχον, καὶ σωτηρίας πρόξενον, καὶ ἀντίληψιν καὶ σκέπην.

Τοῦ Ἁγίου. ὁ αὐτὸς Εἱρμός.

Ἐξεχύθη σου, ἡ χάρις ἐν τοῖς χείλεσι, πλουσία ἄνωθεν, ὦ ἱερὲ Συμεὼν, καὶ χῦμα καρδίας σοι, ὡς ἄμμος δέδοται, ἡ θαλάσσιος, παρὰ τοῦ σὲ σοφίσαντος, ὡς ποτὲ τῷ Σολομῶντι.

Ὁ πολύφωτος, καὶ πάγχρυσος τῆς χάριτος, καὶ λαμπρὸς ἥλιος,



ΠΑΛΛΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΗΤΟΡΗΣ ΠΑΠΑΣ...

τῆς Ἐκκλησίας Χριστοῦ, σεπτὸν διερχόμενος, ἅπαν στερέωμα, καὶ τῆς νήψεως, αὐγάζων ταῖς ἐλλάμψεσι, Συμεὼν ἀνευφημείσθω.

Λογιώτατος, λογίων θεοδίδακτος, καὶ πνευματέμφορος, σὺ Θεολόγος Χριστοῦ, ἐδείχθης τοῖς πέρασι, Συμεὼν ὅσιε, ἐπιστήθιος, δεύτερος καὶ Γρηγόριος, ὁ πυρίπνους Θεολόγος.

Θεοτοκίον.

Ὁ πυρίμορφος, θρόνος καὶ φλογερώτατος, Χριστοῦ παντάνακτος, ὁ ὑψηλὸς οὐρανός, ἐκ πάσης ἐφέσεως, καὶ προσπαθείας με, ἐλευθέρωσον, τῆς χαμαιζήλου σχέσεως, Ἀειπάρθενε Μαρία.

Ἄλλος. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἀμνησίκακος ὤφθης, Χριστομίμητος ὅλος καὶ γαληνότατος, τοὺς γὰρ ἐχθρούς σου Πάτερ, τοὺς σὲ κτεῖναι ζητοῦντας, εὐεργέτεις ἑκάστοτε· ἕως φίλους αὐτούς, ταῖς δωρεαῖς ἐποίεις.

Σὺ τὴν κλεῖδα πλουτήσας, τῶν γραφῶν τὴν τοῦ Πνεύματος Ὅσιε, ὁπότ' ἐβούλου Πάτερ, διήνοιγες ἀκόπως, καὶ τῷ λόγῳ ἐδείκνυες, τὸν θησαυρὸν τῶν Γραφῶν, τὸν ἀποκεκρυμμένον.

Σὺ καθάρας τὸ σῶμα, ἐμπαθείας τρισμάκαρ ἡδυπαθείας τε, ψυχὴν ἐλευθερώσας, καὶ νοῦν τῆς προσπαθείας, νεκρὸς γέγονας σώματι, καὶ πρὸ θανάτου σαρκός, τῷ πνεύματι ἀνέστης

Θεοτοκίον.

Θείων ἀπαυγασμάτων, ἀνεξάντλητος κρήνη, σὺ Κόρη γέγονας, βυθῶν τῶν ἀποκρύφων, τῆς ἀκαταληψίας, τοῦ Θεοῦ ἡ φανέρωσις, ὁ νοηθεὶς τῷ Θεῷ, σκοπὸς πρὸ τῶν αἰώνων.

Καταβασ. Οὐκ ἐλάτρευσαν.

Ὠδὴ, η. ὁ Εἱρμός· δίς.

» Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώζετο, τό-
» τε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἐ-
» γείρει ψάλλειν σοι· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς
» πάντας τοὺς αἰῶνας.



Σὲ ἐν γυναιξὶν εὐλογημένην, Λουκᾶς ἐν Ἁγίῳ ἔφη πνεύματι, πόκον δὲ θεόδροσον, Θεοτόκε πάναγνε, ὁ Γεδεὼν προεῖδέ σε, καὶ ὁ Δαβὶδ οἱ κλεινοί, προφῆται τοῦ Υἱοῦ σου Παρθένε, ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Αὖθις Μαριὰμ ὁ θεηγόρος, Λουκᾶς ὁ αὐτὸς καὶ Μακαρίαν σε, ἔφη ὁ δ' Ἀρχάγγελος, τὸ Χαῖρέ σοι προείρηκε, ὃς ἐκ Θεοῦ παρέστη σοι, ἀπ' οὐρανοῦ καταπτάς, ὁ θεῖος Γαβριὴλ Θεοτόκε, ὁ τῶν Μυστηρίων, διάκονος τῶν θείων.

Σὲ τὴν Θεοτόκον καὶ Παρθένον, προφῆται οἱ θεηγόροι προκατήγγειλαν, οὗτοι γὰρ ἐν πνεύματι, σὲ προεωράκασι, Θεοῦ καὶ προειρήκασι, τοῖς πᾶσιν Ἄχραντε, τὰ σοὶ παρὰ Θεοῦ μεγαλεῖα, καὶ τὸν ἐν ὑστέροις, καιροῖς ἐκ σοῦ τεχθέντα.

Ἄπειρα ὑπάρχει σου Παρθένε, καὶ πλήρη τὰ μεγαλεῖα καὶ ἐξαίσια, σοῦ καὶ τὰ ὀνόματα, ἀλλὰ καὶ οἱ δοῦλοί σου, οἱ γνήσιοί σου Δέσποινα πολλὰ σοὶ ἔπλεξαν, ἐγκώμια καὶ ὕμνους, καὶ λόγους, καὶ πρὸς τὸν Υἱόν σου, τὸν μόνον Θεὸν Λόγον.

Τοῦ Ἁγίου, ὁ αὐτός.

Γέγονας νοούμενος παμμάκαρ, παράδεισος ἐν Ἐδὲμ ὁ θεοφύτευτος, ἔχων στελεχούμενον, τὸν Χριστὸν ἐν μέσῳ σου, ὡς ξύλον ζωῆς Ὅσιε, θάλλον γλυκύκαρπον, κυκλόθεν δὲ ὡς δένδρα κομῶντα, καρποῖς τε καὶ φύλλοις, τὰς ἀρετὰς ἁπάσας.

Ὅμοιος ἐγένου τῷ ἐμπόρῳ, ὃν εἶπε Χριστὸς Συμεὼν Ὅσιε, σὺ γὰρ ἃ ἐκέκτησο, ἅπαντα ἐπώλησας, καὶ μαργαρίτην ἔλαβες, τὸν πολυτίμητον, ὃν ἔκρυψας ἐντὸς τῆς καρδίας, καὶ ἠγαλλιάσω, ἀῤῥήτως ἐπὶ τούτῳ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Νέος οὐρανὸς πάτερ ὡράθης, τὸν Κύριον ὥσπερ ἥλιον παμμέγιστον, Συμεὼν θεόσοφε, ἔχων ἐν τοῖς στέρνοις σου, ὡς δὲ σελήνην πάμφωτον, ἀργυραυγίζουσαν, τὴν χάριν τὴν τοῦ Πνεύματος κτήσας, καὶ ὡς φαιδρὰ ἄστρα, σεπτὰ συγγράμματά σου.

Θεοτοκίον.

Ἅγιον Ἁγίων ὡς τεκοῦσα, Ἁγίοις ἀεὶ τὸν ἐπαναπαυόμενον, καὶ ὡς μόνη στήσασα, κατ' ἐχθρῶν τὸ τρόπαιον, τῶν ἀοράτων Πάναγνε, τὸν νοῦν φυλάξασα, ἀνώτερον ἐννοίας ἀτόπου, καλῇ παρὰ πάντων, δικαίως Παναγία.

Ἄλλος. Ἑπταπλασίως κάμινον.

Ἔρωτας θείους ἔσχηκας, ἐν καρδίᾳ σου Ἅγιε, οἳ εἰσὶ τοῦ Κτίστου, φῶς τὸ ἀνεκλάλητον, ἐντεῦθεν θεόληπτος, καὶ ἔνθους ὅλος γέγονας, ὅλος ἐνδημῶν, τῷ ὑπὸ σοῦ ἐρωμένῳ, καὶ πάθη πάσχων θείας, κατοχῆς καὶ βακχείας, καὶ διὰ στίχων ὕμνους, ἐρωτικοὺς συγγράφων.

Τριαδικῶς κατώπτευσας, τὴν Τριάδα τὴν ἄκτιστον, νοῦν λόγον καὶ πνεῦμα, νοΐ λόγῳ πνεύματι, Μονάδα δὲ αὖθίς τε, μοναδικῶς ἀνύμνησας, ἑνώσας εἰς ἕν, τὸν νοῦν σου λόγον καὶ πνεῦμα, καὶ φύσει μὲν ἐγένου, τοῦ Θεοῦ κατ' εἰκόνα, τῇ γνώμῃ δὲ ἐδείχθης, καθ' ὁμοίωσιν πάτερ.

Εἰς τὸ τῆς ταπεινώσεως, Συμεὼν βάθος ἔφθασας, ἣν αὐτὸ τὸ πνεῦμα, ἔκτισεν ἐν σπλάγχνοις σου. Ἐντεῦθεν ἠξίωσαι, εἰς ὕψος τελειότητος, ἀνελθεῖν σοφέ, ὡς ἐφικτὸν τοῖς ἀνθρώποις, καὶ πνεύματος πλησθῆναι, χαρισμάτων ποικίλων, καὶ Ἄγγελον φανῆναι, ὡς ἄϋλον ἐν ὕλῃ.

Θεοτοκίον.

Νύξ με συνέσχε πάντοθεν, ἁμαρτίας τὸν δείλαιον, φωτισμὸν γὰρ εἶναι, τὴν τρυφὴν ὑπέλαβον, ἐντεῦθεν ἠλλοίωμαι, τὴν οὐ καλὴν ἀλλοίωσιν, εἰς τὰς σκοτεινάς, καταφερόμενος πράξεις, τὸ φῶς ἡ τετοκυῖα, φώτισόν με παρθένε, καὶ θείᾳ ἀλλοιώσει, ἀλλοίωσόν με ὅλον.

Καταβασ. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.



Ὠδὴ θ'. ὁ Εἱρμὸς, δίς.

» Ἅπας γηγενὴς, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος, πανη-
» γυριζέτω δὲ, ἀΰλων Νόων, φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια, τῆς
» Θεομήτορος, καὶ βοάτω χαίροις παμμακάριστε, Θεοτόκε Ἁγνὴ ἀει-
» πάρθενε.

Ἅπας γηγενὴς, θαυμάζει γηθόμενος τὰ μεγαλεῖά σου, Μῆτερ Ἀειπάρθενε, καὶ τῶν θαυμάτων σου τὸ ἀπέραντον, τὴν δὲ σεπτὴν εἰκόνα σου, καὶ χαριτόβρυτον, μεγαλύνει, τῶν Ἀγγέλων τάγματα, καὶ βροτῶν φιλεόρτων συστήματα.

Ἄγει ἑορτὴν, Παρθένε ἡ ποίμνη σου, ἡ ἐν τῷ Ἄθωνι, ἐπὶ τῇ Συνάξει σου, καὶ μνείαν ἄγουσα τῶν θαυμάτων σου, τοῖς πᾶσι διαγγέλλει σου, τὰς θείας χάριτας, καὶ προνοίας, ἣν περὶ τὸν κλῆρόν σου, Θεοτόκε, παρέχεις ἑκάστοτε.

Χαίρει καὶ σκιρτᾷ, νῦν ἡ κληρουχία σου, καὶ γὰρ ἐπλούτησε, Μῆτερ Ἀειπάρθενε, σὲ πολιοῦχον καὶ ἀντιλήπτορα, ἣν περιέπεις ἄνωθεν, τοὺς δ' ἐν αὐτῇ σκολιοὺς, μὴ παρόψῃ, τοὺς ἐχθρούς σου Δέσποινα, ἀλλ' ἀπόδος αὐτοῖς τὰ ἐπίχειρα.

Δέχου προσηνῶς, τουτό μου τὸ πρόσφορον Θεοχαρίτωτε, τοὺς ἀνευφημοῦντας δὲ, καὶ ἀνυμνοῦντας τὰ μεγαλεῖά σου, τῆς θείας δόξης Ἄχραντε, μετόχους ποίησον, χορηγοῦσα, τῶν πταισμάτων ἄφεσιν, ταῖς λιταῖς σου πρὸς Κύριον πάντοτε.

Τοῦ Ἁγίου ὁ αὐτὸς

Χαίροις νῦν χαρὰν, τὴν ὄντως ἀπέραντον, καὶ ἀνεκλάλητον, Συμεὼν τρισόλβιε, ὅπου χωρίον, χαρᾶς τὸ χάριεν, κλαύσας γὰρ ὧδε πρόσκαιρα, εἰς τὰ οὐράνια, παρεκλήθης, καὶ σκιρτᾷς αἰώνια, τὸ τερπνὸν καὶ μακάριον σκίρτημα.

Βλέπεις τὸν γλυκὺν, Ἰησοῦν πρὸς πρόσωπον, νῦν ὃν περ πρότερον, βλέπειν κατηξίωσας, ἀλλ' ἐν ἐσόπτρῳ, καὶ ἐν αἰνίγματι, ἐντρύφα λοιπὸν



ΑΛΕΞΑΝΔΡΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠ...

Ὅσιε, σκίρτα καὶ χόρευε, ἀπολαύων, νῦν τοῦ ποθουμένου σοι, καὶ ἡμῶν τῶν τιμώντων σε μέμνησο.

Δέχου τὴν ᾠδὴν, Συμεὼν θεόσοφε, ἣν σοι προσάγομεν, δῶρον ὡς ἐλάχιστον, τοῦ πολλοῦ χρέους, οὗ πρὸς σὲ ἔχομεν, καὶ ἀμοιβὴν αἰτούμεθα, χάριν τοῦ πνεύματος, δωρηθῆναι, καὶ ἡμῖν πρεσβείαις σου, ἣν κακίαις πολλαῖς ἀπωλέσαμεν.

Θεοτοκίον.

Κτίσεως Ἁγνὴ, καὶ Κτίστου μεθόριον, ἄμεσον γέγονας, ὅθεν καὶ τὸ πλήρωμα, πασῶν χαρίτων δέχῃ Πανάμωμε, καὶ μεταδίδως ἅπασι, βροτοῖς Ἀγγέλοις τε, ὅθεν τούτου σὺ, μετάδος Δέσποινα, καὶ ἡμῖν τοῖς ἐν πίστει τιμῶσί σε.

Ἄλλος. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Τῇ Νύμφῃ Βασιλέως Χριστοῦ σοφὲ, ἐκκλησίᾳ σοὺς λόγους κατέλιπες, ὡς νυμφικὸν, κόσμον καὶ ποικίλον ἱματισμὸν, ὡς λιθομαργαρόχρυσον, στέφανον καὶ σκεῦος καὶ κιβωτὸν, ὡς περιδέραιά τε, ψέλλια καὶ χλιδῶνας, καὶ δακτυλίους καὶ ἐνώτια.

Τὴν τάξιν ὑπερέβης τὴν δουλικὴν, καὶ μισθίους αὐτοὺς ὑπερήλασας, καὶ ὡς υἱὸς, νῦν πατρὶ παρίστασαι τῷ Χριστῷ, εἰλικρινὴς καὶ γνήσιος, ὁρῶν καὶ ὁρώμενος ὑπ᾽ αὐτοῦ, θεούμενος ἀμέσως, Χριστοῦ συγκληρονόμος, καὶ κληρονόμος Θεοῦ Ἅγιε.

Οὐ σθένει γλῶσσα οἶδα σε Συμεὼν, τὸν Θεὸν κατὰ χάριν γενόμενον, ἀνευφημεῖν, ἀλλὰ πάλιν οἶδα ὅτι ἡ σὴ, φιλανθρωπία δέχεται, καὶ γυμνὴν προαίρεσιν τῆς ψυχῆς, διὸ δέξαι μου ταῦτα, τὰ ᾄσματα τρισμάκαρ, ὥσπερ πατὴρ παιδὸς ψελίσματα.

Θεοτοκίον.

Παράκλητον προβάλλομεν πρὸς Θεὸν, σὲ Παρθένε οἱ δοῦλοί σου ἅπαντες, ὅθεν Ἁγνὴ, δέησιν προσάγαγε σῷ Υἱῷ, πατρί τε καὶ τῷ Πνεύματι τῷ ἑνὶ τῶν πάντων Δημιουργῷ Τριάδι τῇ Ἁγίᾳ, ἵνα ἡμᾶς οἰκτείρῃ, καὶ πάντας σώσῃ κόσμου Σώτηρα.

Καταβασ. Ἅπας γηγενής.



Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Τὸν Θεολόγον ἅπαντες, Συμεὼν εὐφημήσωμεν, τῶν Μοναζόντων τὸ κλέος, καὶ ἱερέων τὴν δόξαν, τῶν θεολόγων καύχημα, καὶ τῶν πιστῶν ἀγλάϊσμα, τῆς χάριτος τὴν σάλπιγγα, καὶ τῆς Χριστοῦ Ἐκκλησίας, τὸν φωτοφόρον φωστῆρα.

Ἕτερον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ὁ αἰσθητὸς μὲν ἥλιος, τῷ πρωῒ ἀνατέλλων, φωτίζει κόσμον ἅπαντα, φθάσας δὲ δύσιν ὅμως, ἰδίας κρύπτει ἀκτῖνας, σὺ δὲ Ὅσιε πάτερ, ἥλιος, ὤφθης ἄδυτος, ἐν νυκτὶ καὶ ἡμέρᾳ, τοῖς ἱεροῖς, λόγοις σου φωτίζων σύμπαντα κόσμον, ὅθεν ἡλίου γέγονας, αἰσθητοῦ πολλῷ κρείττων.

Καὶ Θεοτοκίον, ὅμοιον.

Μετὰ Θεὸν Πανάμωμε, σὺ Θεὸς ἀνεδείχθης, τὰ δευτερεῖα ἔχουσα, τῆς Ἁγίας Τριάδος, τῆς πίστεως ἀρχὴ πρώτη, καὶ ἐλπίδος ἡ βάσις, τὸ ἔρεισμα τῆς πράξεως, καὶ κρηπὶς θεωρίας, ἀκροστιχὶς, προφητῶν ἁπάντων καὶ γραφῶν πίναξ, πόλου καὶ γῆς τεράστιον, καὶ στοιχεῖον τοῦ κόσμου.

Εἰς τοὺς Αἴνους, πᾶσα πνοή· ἐν οἷς ἱστῶμεν στχ. δ´.

καὶ ψάλλομεν στιχηρὰ προσόμοια εἰς

ἦχον, ά. Τῶν οὐρανίων ταγμάτων.

Δεῦτε πιστῶν αἱ χορεῖαι, πανηγυρίσωμεν, τοῦ νέου Θεολόγου, Συμεῶνος τὴν μνήμην, καὶ τούτου τὴν εἰκόνα τὴν ἱερὰν, εὐλαβῶς προσκυνήσωμεν, τῷ πρωτοτύπῳ προσάγοντες δι᾽ αὐτῆς, τὴν τιμὴν καὶ τὴν προσκύνησιν.

Τῶν μακαρίων οἱ δῆμοι, νῦν συναγάλλονται, τῷ πνεύματί σου πάτερ, τῷ αὔλῳ ἐν πόλῳ ἡμεῖς δὲ σοὶ δοῦλοι, τὰ ἱερὰ, σοῦ συγγράμματα ἔχοντες, καὶ ἐξ αὐτῶν ὠφελούμενοι ψυχικῶς, ἐπὶ γῆς ἀγαλλιώμεθα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Τὸ τριμερὲς τῆς ψυχῆς σου, καθάρας ὅσιε, κηλίδος ἀπὸ πάσης, ἀρετῶν τῇ τριάδι, νηστείᾳ καὶ ἀγάπῃ καὶ προσευχῇ, τῆς τριάδος γεγένησαι, τῆς ὑπερθέου ἀνάκτορον ἱερὸν, Συμεὼν πάτερ ἀείμνηστε.

Τῆς ἀρχιφώτου Τριάδος, νῦν ἀστραπτόμενος, πλουσίαις ταῖς ἀκτῖσι, Συμεὼν Θεολόγε, πρέσβευε ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν πιστῶς γεραιρόντων σε, καὶ τὴν ἁγίαν σου μνήμην περιχαρῶς, ἐκτελούντων πανναοίδιμε.

Δόξα, ἦχος, πλ. δ'.

Τίς λαλήσει τὸ πλάτος, τῆς ἀγάπης, ἣν πρὸς τὸν πλησίον ἔσχες, Συμεὼν ἁγιώτατε; σὺ γὰρ οὐ μόνον ζῶν, διὰ λόγων καὶ ἔργων, πρὸς μάνδραν οὐράνιον ὡδήγησας τὸ ποίμνιον Χριστοῦ, ἀλλὰ καὶ μετὰ θάνατον· ὥσπερ πατὴρ φιλόστοργος, θηλὴν αὐξητικὴν, καὶ στερεὰν τροφὴν, τὴν θεόσοφόν σου βίβλον ἡμῖν παρέθηκας, δι' ἧς τρεφόμενοι, εἰς ἄνδρα τέλειον, καὶ εἰς μέτρον ἡλικίας τοῦ Χριστοῦ ἀναγόμεθα· ὄντως ἐκαλλιώθησαν ᾀσματικῶς ἡ καρδία καὶ χείλη σου, ἀπὸ οἴνου τοῦ ἐκστατικοῦ τῆς θεώσεως, ἧς καὶ ἡμᾶς τυχεῖν καταξίωσον, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Καὶ νῦν, Θεοτοκίον, σύντομ. Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου.

Δοξολογία Μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν τυπικὰ, καὶ ἐκ τοῦ ά. κανόνος τοῦ Ἁγίου· ἡ γ'. ᾠδὴ, καὶ ἡ ς'. ἐκ τοῦ β'. κατὰ τὴν τάξιν, αἵτινες γράφονται ἐνταῦθα, πρὸς εὐκολίαν τοῦ ζητοῦντος Ἀναγνώστου.

ᾨδὴ, γ'. ἦχος, δ'. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Ὑπῆρξας ναὸς ἡγιασμένος, Θεοῦ ὥσπερ θύτην καθαρὸν, τὸν νοῦν σου ἔχων Ὅσιε, τὴν προσευχὴν ὡς θῦμα δὲ, καὶ ὡς θυσιαστήριον, τὴν εὐθυτάτην καρδίαν σου.

Ἐφάνη ἐν χρόνοις τοῖς ἐσχάτοις, ἡ βίβλος σου, πάτερ Συμεὼν, κλίμαξ



ἡμᾶς ἀνάγουσα, ἐκ γῆς πρὸς τὰ οὐράνια, καὶ κώδων ἱερώτατος, τοὺς κοιμωμένους ἐγείρουσα.

Μωσέως ὡς πάλαι ἐδοξάσθη, ἡ ὄψις συνόντως τῷ Θεῷ· οὕτω καὶ σοῦ τὸ πρόσωπον, ἐν τοῖς ἀδύτοις μένον σου, θείῳ φωτὶ δεδόξασται, ὁλολαμπὲς ὡς ὁ ἥλιος.

Θεοτοκίον.

Ὡς κόσμος ἐν κόσμῳ ἀνεδείχθης, παμμέγιστε Κόρη ἐν σμικρῷ τοῦ ἐξ οὐκ ὄντων ἅπαντα, τὸν κόσμον ὑποστήσαντος, κόσμῳ γὰρ ὁ ἀχώρητος, σοὶ χωρητὸς ὅλος γέγονε.

Εἶτα καὶ ἡ ς'. ᾠδὴ, τοῦ β'. κανόνος.

Ἦχος, πλ. δ'. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον.

Τοῦ πνεύματος, θείαν χάριν Ὅσιε, ἐν καρδίᾳ ὡς πηγὴν κεκτημένος, καὶ ὕδωρ ζῶν, καὶ ἀλλόμενον Πάτερ, θεοσοφίας ἐξέβλυσας νάματα, καὶ αὔλακας τὰς ψυχικὰς, τηκομένας τῷ δίψει ἐκόρεσας.

Ἐδόθη σοι καὶ θαυμάτων δύναμις, Συμεὼν καὶ θεολόγων ἡ χάρις, ἵνα μηδὲν, ὑστερῇς τῶν Ἁγίων, ὅθεν καὶ ζῶν καὶ θανὼν ἀπετέλεσας, θαυμάσια πολλὰ σοφὲ, καὶ ἰάσεις δυνάμει τοῦ Πνεύματος.

Ἐξίσταντο, οἱ λαοὶ ἀκούοντες, Συμεὼν τῆς σῆς σοφίας τοὺς λόγους, καὶ ὡς ποτὲ, Ἰουδαῖοι ἐβόων, περὶ Χριστοῦ, οὕτως οὗτοι ἐκραύγαζον· ἡ χάρις λόγων ἡ πολλὴ, καὶ σοφία αὐτῷ πόθεν δέδοται;

Θεοτοκίον.

Ἀγκάλας σου, καὶ μαστοὺς ὦ Δέσποινα, τῷ Υἱῷ σου μεσιτεύουσα δεῖξον, μῖξον τοῖς σοῖς, τὰ ἐκείνου Παρθένε, Σταυρὸν καὶ λόγχην καὶ ἥλους καὶ κάλαμον, καὶ οὕτως ἱλέωσαι αὐτὸν, ἐφ' ἡμῖν τοῖς πολλὰ ἁμαρτήσασι.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου.

Τὰ δὲ τροπάρια, Ἀπολυτίκιον δηλονότι, Κοντάκιον, καὶ Μεγαλυνάρια, ζήτει ὄπισθεν, δι' εὐκολίαν.

'Απολυτίκιον· ἦχος, γ'. Θείας πίστεως.

Θείαν ἔλλαμψιν, Συμεὼν πάτερ, εἰσδεξάμενος, ἐν τῇ ψυχῇ σου, φωστὴρ ἐν κόσμῳ ἐδείχθης λαμπρότατος, διασκεδάζων αὐτοῦ τὴν σκοτόμαιναν, καὶ πάντας πείθων ζητεῖν ἣν ἀπώλεσαν, χάριν πνεύματος, αὐτὸ ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερον ἀπολυτίκιον νεοσύνθετον, εἰς ἦχον, ά.

Τοῦ λίθου σφραγισθέντος.

Τῆς θύραθεν σοφίας προϋπάρχων ἀμύητος, τῆς ἐνθέου καὶ ταύτης, πλήρης γέγονας ὕστερον, καὶ νέος Θεολόγος ἀληθῶς, τοῖς πᾶσιν ἐγνωρίσθης Συμεὼν, διὰ τοῦτό σου τὴν μνήμην Πάτερ σοφὲ, τιμῶντές σοι ἐκβοῶμεν· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Κοντάκιον· ἦχος, γ'. Ἡ Παρθένος σήμερον.

Τῷ φωτὶ λαμπόμενος, τῷ τρισηλίῳ θεόφρον,
Θεολόγος γέγονας, τῆς ὑπερθέου Τριάδος·
Ἄνωθεν, σοφίαν λόγων καταπλουτήσας,
Ἔβλυσας, θεοσοφίας ἔνθεα ῥεῖθρα·
Ἐξ ὧν πίνοντες βοῶμεν· Χαίροις τρισμάκαρ Συμεὼν ὅσιε.

Ἀπόστολον καὶ Εὐαγγέλιον, τὰ εἰς τοὺς ὁσίους ἁρμόζοντα.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον. Μεγαλυνάρια.

Δεῦτε τῆς Τριάδος τὸν ἐραστὴν, καὶ Χριστοῦ τὸν μέγαν, ἐν ὁσίοις καὶ λειτουργὸν, Μοναστῶν τὸ κλέος, καὶ Ἀσκητῶν τὴν δόξαν, τὸν Νέον Θεολόγον, ὕμνοις τιμήσωμεν.

Ἕτερον.

Τὸν θεοχαρίτωτον Συμεὼν, πόθῳ εὐφημοῦμεν, τὸν φωτίζοντα δωρεὰν, τοὺς μετ' εὐλαβείας, καὶ προσοχῆς μεγίστης, τὴν θείαν αὐτοῦ βίβλον, ἀναγινώσκοντας.

Ἕτερον ὅμοιον.

Οἱ τῷ θείῳ οἴκῳ σου καὶ Ναῷ, νῦν συναθροισθέντες, σοὶ προσπίπτομεν εὐλαβῶς, φωτισμὸν αἰτοῦντες, καὶ τῶν πταισμάτων λύσιν, Συμεὼν ταῖς λιταῖς σου, ταῖς πρὸς τὸν Κύριον.

---

ΤΕΛΟΣ.



ΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ